custos ficulnus factus est. Nos autem εὐφημεῖν καλόν. Itaque finem his Collectaneis faciemus, lectorem obsecrati vt Christiani messoris operam boni consulat, neque vitio vertat, si plurimum spicum in hac messe reliquerit, in quo legendo plus fortassis laudis reportabit, spicilegorum ὀπισθοβάτης, quàm ipsius messoris improbus labor.

ΤΕΛΟΣ. FINIS.

---

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις δι' ἰάμβων.

Ἐν τοῖς Σκίροις τὰ γύναι' ἔκρινεν ἐν στολαῖς
Ἀνέρων προκαθίζοντα γενομένης ἐκκλησίας,
Περιθέμεναι πώγωνας ἀλλοτρίων τριχῶν.
Ἐποίησαν οὕτως. ὑστεροῦντες οὖν στολαῖς
Ἄνδρες γυναικῶν ἐκάθισαν καὶ δὴ μία
Δημηγορεῖ περὶ τοῦ λαβούσας τὴν ὅλων
Τὴν ἐπιτροπὴν βέλτιον ἄρξειν μυρίων.
Ἐκέλευσέ τ' εἰς τὸ κοινὸν εἰσφέρειν ὅλα
Τὰ χρήματ' ἄνδρας ὡς κεκελεῦσθαι τοῖς νόμοις.

ΑΛΛΩΣ.

Αἱ γυναῖκες συνέθεντο πάντα μηχανήσασθαι εἰς τὸ δόξαι ἄνδρες εἶναι. καὶ ἐκκλησιάζουσαι πεῖσαι παραδοῦναι σφίσι τὴν πόλιν δημηγορησάσης μιᾶς ἐξ αὐτῶν. αἱ δὲ μηχαναὶ τοῦ δόξαι αὐτὰς ἄνδρας εἶναι, τοιαῦται. ἀνδρείαν ἀναλαμβάνουσι στολήν, προασκήσασαι, καὶ προνοήσασαι τὸ σῶμα ἑαυτῶν, ὡς ὅτι μάλιστα, ἀνδρικὸν εἶναι δόξαι, μία δὲ ἐξ αὐτῶν Πραξαγόρα λύχνον ἔχουσα, προέρχεται κατὰ τὰς συνθήκας, καί φησιν ὦ λαμπρὸν ὄμμα.

Νέα τῶν ἐκκλησιαζουσῶν ὑπόθεσις.

Αἱ Ἀττικαὶ γυναῖκες τὰ τῆς πόλεως πράγματα διοικεῖν ἐπιθυμοῦσαι πρὸς τὴν Πραξαγόραν τούτου τοῦ τολμήματος ἡγεμόνα, τῶν ἀνδρῶν ἔτι κοιμωμένων, ἐκ τῶν οἰκιῶν πρωϊαίτατα συνέρχονται, ἵνα μετ' αὐτῆς περὶ τῆς πολιτείας μεταβολῆς βουλεύσωνται. Τέλος δὲ βουλευσάμεναι, καὶ τὰς τῶν ἀνδρῶν καθευδόντων ἐσθῆτας λάθρα λαβοῦσαι, καὶ ταύτας ἐνδυσάμεναι, καὶ πώγωνας ἀνδρείους τῷ προσώπῳ περιαψάμεναι, καὶ ἐν τοῖς ἄλλοις ἅπασι τὸν κόσμον, καὶ τὸ σχῆμα τῶν ἀνδρῶν ψευσάμεναι εἰς τὴν ἐκκλησίαν οὕτω συνέρχονται. Ἐκεῖ δὲ ἡ Πραξαγόρα τῶν ἄλλων γυναικῶν πολλῷ ἐμπειροτέρα, καὶ περὶ τὸ λέγειν δεινοτέρα, μακρὰν δημηγορίαν ἤδη προμεμελετημένην, καὶ ταῖς γυναιξὶ προδεδηλωμένην, πρὸς τὸν δῆμον ποιεῖται. ταύτης δὲ τὸ κεφάλαιον ἦν, πολλῶν ἕνεκα τὰ τῆς πόλεως πράγματα, καὶ τὴν τούτων διοίκησιν, καὶ ἐπιτροπὴν ταῖς γυναιξὶ δεῖν ἐπιτρέπειν. οὕτω γὰρ τὴν πόλιν εὐδαιμονεστάτην ἔσεσθαι. τούτων δὲ τοῦ δήμου γυναικείοις δόλοις ἀπατηθέντος ψήφοις κυρωθέντων, αἱ γυναῖκες τὰ προσωπεῖα, πᾶν τε σχῆμα, καὶ κόσμον ἀνδρεῖον καταθεῖσαι, λάθρα εἰς τοὺς ἰδίους οἴκους ἐπαναχωροῦσιν. Ἐν ταύτῃ δὲ τῇ ἐκκλησίᾳ παρῆν ἀνήρ τις ὄνομα Χρέμης, ὅς τισιν ἄλλοις ἀνδράσι περὶ τῆς τῶν ἰδίων γυναικῶν νυκτερινῆς ἀπουσίας ἐν ἀλλήλοις μεμφομένοις, καὶ λυπουμένοις, τὰ ἐν τῇ ἐκκλησίᾳ κυρωθέντα δηλοῖ. ἡ δὲ Πραξαγόρα ὡς χειροτονηθεῖσα στρατηγίς, καὶ τῆς πόλεως κυβερνήτρια τὴν τῆς πολιτείας ἰδέαν, καθ' ἣν εἰς τὸ λοιπὸν δεῖ τοὺς πολίτας ζῆν, προστάττει. τῆς δὲ καινῆς πολιτείας ταῦτά ἐστι τὰ κεφάλαια. πρῶτον μὲν ἡ Πραξαγόρα κελεύει πάντας τοὺς πολίτας πάντα τὰ ἑαυτῶν χρήματα, καὶ πᾶσαν οὐσίαν εἰς ἀγορὰν ἀποφέρειν, ἵνα μηδεὶς μηδὲν ἴδιον, καὶ οἰκεῖον ἰδίᾳ ἔχῃ, ἀλλὰ πάντα πᾶσιν ὦσι κοινά. Ἔπειτα δὲ κελεύει τὰς γυναῖκας ἐν ταῖς ὁδοῖς πᾶσιν αὐτοῖς χρῆσθαι βουλομένοις, προῖκα τὴν συνουσίαν χαρίζεσθαι. ἵνα δὲ μὴ αἱ παλαιαί, καὶ δυσειδεῖς γυναῖκες ἀμεληθεῖσαι μένωσι, ψήφισμα ἐποίησε μηδενὶ τῶν ἀνδρῶν ἐξεῖναι πρὸς τὰς νεωτέρας, καὶ καλλίους γυναῖκας προσέρχεσθαι, πρὶν ἂν πρὸς τὰς παλαιάς, καὶ δυσειδεῖς γυναῖκας προσελθεῖν. διὰ τοῦτο δὲ μέγας θόρυβος, καὶ βοὴ παραχρῆμα ἐγείρεται. Νέος γάρ τις νέαν ζητῶν ὑπό τινων παλαιῶν καὶ δυσειδῶν γυναικῶν καταλαμβάνεται, καὶ ἀθλίως ἕλκεται, καὶ τὸν τῆς Πραξαγόρας νόμον φυλάττειν, καὶ πληροῦν ἀναγκάζεται. ἐν δὲ τῷ τοῦ δράματος τέλει θεράπαινά τις εἰς τὴν σκηνὴν εἰσάγεται, καὶ τοὺς τοιαύτῃ πολιτείᾳ χρωμένους μακαρίζει, καὶ τὸν ἑαυτῆς δεσπότην ζητεῖ. τούτου δὲ εὑρεθέντος ἅπαντες μετὰ τοῦ χοροῦ ἐκ τοῦ θεάτρου ἀπέρχονται, καὶ τῷ δράματι τέλος οὕτως ἐπιτίθεται. ὁ δὲ Ἀριστοφάνης διὰ τούτων τοὺς φιλοσόφους, οἷς ἐχθρὸς ἦν, μάλιστα δὲ τὰ τοῦ Πλάτωνος περὶ πολιτείας βιβλία ψέγειν, σκώπτειν, καὶ κωμῳδεῖν δοκεῖ.

ARISTO.